αὐτὸν ἐκ τῆς ὄψεώς μου. ὁ δὲ Ξάνθος ἔφη, ἀρκοῦ σοι κυρία μου, μὴ οὕτως σκώπτε μου τὸν νεώνητον. ἡ δὲ γυνὴ ἔφη μεμίσηκάς με Ξάνθε, ἑτέραν γὰρ γῆμαι θέλων, καὶ αἰδούμενος μοι εἰπεῖν, ἵνα τῆς οἰκίας ὑποχωρήσω, ἤνεγκάς μοι τὸν κυνοκέφαλον τοῦτον ἐπίτηδες, ἵνα μὴ θέλουσα ὑπ' αὐτοῦ δουλευθῆναι, ἐκφύγω. Δός μοι οὖν τὴν προῖκα μου καὶ πορεύσομαι. ὁ δὲ Ξάνθος τῷ Αἰσώπῳ ἔφη, ἵνα τί εἰς τὴν ὁδὸν περιπατῶν ὑρήσας τοιαῦτα μοι ἔφης ῥήματα, καὶ νῦν οὐδὲν λέγεις πρὸς αὐτήν. Αἴσωπος εἶπε, ῥίψον αὐτὴν εἰς τὸ σκότος. ὁ δὲ σιώπα, κάθαρμα. οὐκ οἶδας ὅτι ἀγαπῶ αὐτὴν ὡς ἐμαυτόν. Αἴσωπος λέγει, φιλεῖς τὸ γύναιον; Ξάνθος, καί, δεσπότα. ὁ οὖν Αἴσωπος ῥήξας τὸν πόδα εἰς τὸ μέσον, ἀνεκραύγασε, λέγων, Ξάνθος ὁ φιλόσοφος γυναικοκρατεῖται

τεῖται